ἔργου χρυσίου δύο μυριάδας καὶ ἀργυρίου μνᾶς δισχιλίας διακοσίας,
72 [72]καὶ ἔδωκαν οἱ κατάλοιποι τοῦ λαοῦ χρυσίου δύο μυριάδας καὶ
ἀργυρίου μνᾶς δισχιλίας διακοσίας καὶ χοθωνωθ τῶν ἱερέων ἑξή-
73 κοντα ἑπτά. — [73]καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ πυ-
λωροὶ καὶ οἱ ᾄδοντες καὶ οἱ ἀπὸ τοῦ λαοῦ καὶ οἱ ναθινιμ καὶ πᾶς
Ισραηλ ἐν πόλεσιν αὐτῶν.

Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος — καὶ οἱ υἱοὶ Ισραηλ ἐν πόλε-
18 σιν αὐτῶν — [1]καὶ συνήχθησαν πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς τὸ
πλάτος τὸ ἔμπροσθεν πύλης τοῦ ὕδατος. καὶ εἶπαν τῷ Εσδρα τῷ
γραμματεῖ ἐνέγκαι τὸ βιβλίον νόμου Μωυσῆ, ὃν ἐνετείλατο κύριος
2 τῷ Ισραηλ. [2]καὶ ἤνεγκεν Εσδρας ὁ ἱερεὺς τὸν νόμον ἐνώπιον τῆς
ἐκκλησίας ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς καὶ πᾶς ὁ συνίων ἀκού-
3 ειν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου [3]καὶ ἀνέγνω ἐν αὐτῷ
ἀπὸ τῆς ὥρας τοῦ διαφωτίσαι τὸν ἥλιον ἕως ἡμίσους τῆς ἡμέρας
ἀπέναντι τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ αὐτοὶ συνιέντες, καὶ
4 ὦτα παντὸς τοῦ λαοῦ εἰς τὸ βιβλίον τοῦ νόμου. [4]καὶ ἔστη Εσδρας
ὁ γραμματεὺς ἐπὶ βήματος ξυλίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ
Ματταθιας καὶ Σαμαιας καὶ Ανανιας καὶ Ουρια καὶ Ελκια καὶ Μα-
ασαια ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ ἀριστερῶν Φαδαιας καὶ Μισαηλ καὶ
Μελχιας καὶ Ωσαμ καὶ Ασαβδανα καὶ Ζαχαριας καὶ Μοσολλαμ.
5 [5]καὶ ἤνοιξεν Εσδρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ — ὅτι
αὐτὸς ἦν ἐπάνω τοῦ λαοῦ — καὶ ἐγένετο ἡνίκα ἤνοιξεν αὐτό,
6 ἔστη πᾶς ὁ λαός. [6]καὶ ηὐλόγησεν Εσδρας κύριον τὸν θεὸν τὸν
μέγαν, καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς καὶ εἶπαν Αμην ἐπάραντες χεῖρας
αὐτῶν καὶ ἔκυψαν καὶ προσεκύνησαν τῷ κυρίῳ ἐπὶ πρόσωπον
7 ἐπὶ τὴν γῆν. [7]καὶ Ἰησοῦς καὶ Βαναιας καὶ Σαραβια ἦσαν συνετί-
ζοντες τὸν λαὸν εἰς τὸν νόμον, καὶ ὁ λαὸς ἐν τῇ στάσει αὐτοῦ.
8 [8]καὶ ἀνέγνωσαν ἐν βιβλίῳ νόμου τοῦ θεοῦ, καὶ ἐδίδασκεν Εσδρας
καὶ διέστελλεν ἐν ἐπιστήμῃ κυρίου, καὶ συνῆκεν ὁ λαὸς ἐν τῇ

71 εργου] ετους BS† | χρυσιου] pr. του B*† | μνας] pr. μυριας A || 72 init. — διακοσιας] om. BA†, asteriscis notauit S^c sic mutans textum: και α εδωσαν(sic) οι καταλοιποι του λαου χρυσους εν νομισμασιν δυο μυριαδας και αργυρα σκευη δισχιλια (sic, sine διακοσ.) et ο' = LXX in margine adpingens (S* ut edidi, sed εβδομηκοντα pro δυο et ..... (penitus erasa) χιλιαδας pro μνας δισχιλιας) | ιερεων] -ρων S†

18 (𝔐 Neh. 8) 1 εἷς εἰς] εις B*S† | εσδρα: cf. 7 1 | ον] ο BSA† | κυριος > BS† || 2 τον νομον > A† | και 2° SA†] > rel. || 3 ημισους B*S*†] μεσουσης B^cS^cL, μεσου A† | ωτα] pr. τα S† || 4 γραμμ.] ιερευς S†: cf. inscr. libri | ματθαθιας S | ανανιας] ς > B†; + και αζαριας L†: ex I 9 43 | ουρ(ε)ια και] ουριας S(†) | ελκ(ε)ια B†] χελκ. rel.: cf. 7 1 | μαασαια S†] μαασσαια B†, μαασια A | αριστερων] ευωνυμων A pl.: cf. I 9 44 | και ωσαμ(L† ασομ) και ασαβδ. et και μοσολλ. > BS† | ασαβδανα S^c†] αβαανας L†, ασαβααμα A(†) || 6 εσδρας > BS | κυριον] pr. τον B† | επαρ. (+ τας pl.) χειρας αυτων > BS || 7 βαναιας] ς > B || 8 βιβλιω] pr. τω SA | εν 2° > A†